σθήσεται αὐτῷ βασιλεὺς βορρᾶ ἐν ἅρμασι καὶ ἐν ἵπποις πολλοῖς 𝔊
41 καὶ ἐν πλοίοις πολλοῖς καὶ εἰσελεύσεται εἰς χώραν Αἰγύπτου 41καὶ
42 ἐπελεύσεται εἰς τὴν χώραν μου, 42καὶ ἐν χώρᾳ Αἰγύπτου οὐκ ἔσται
43 ἐν αὐτῇ διασῳζόμενος. 43καὶ κρατήσει τοῦ τόπου τοῦ χρυσίου καὶ
τοῦ τόπου τοῦ ἀργυρίου καὶ πάσης τῆς ἐπιθυμίας Αἰγύπτου, καὶ
44 Λίβυες καὶ Αἰθίοπες ἔσονται ἐν τῷ ὄχλῳ αὐτοῦ. 44καὶ ἀκοὴ ταρά-
ξει αὐτὸν ἀπὸ ἀνατολῶν καὶ βορρᾶ, καὶ ἐξελεύσεται ἐν θυμῷ ἰσχυ-
45 ρῷ καὶ ῥομφαίᾳ ἀφανίσαι καὶ ἀποκτεῖναι πολλούς. 45καὶ στήσει
αὐτοῦ τὴν σκηνὴν τότε ἀνὰ μέσον τῶν θαλασσῶν καὶ τοῦ ὄρους
τῆς θελήσεως τοῦ ἁγίου· καὶ ἥξει ὥρα τῆς συντελείας αὐτοῦ, καὶ
12 οὐκ ἔσται ὁ βοηθῶν αὐτῷ. 1καὶ κατὰ τὴν ὥραν ἐκείνην παρελεύ-
σεται Μιχαηλ ὁ ἄγγελος ὁ μέγας ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ
λαοῦ σου· ἐκείνη ἡ ἡμέρα θλίψεως, οἵα οὐκ ἐγενήθη ἀφ᾽ οὗ ἐγε-
νήθησαν ἕως τῆς ἡμέρας ἐκείνης· καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὑψω-
θήσεται πᾶς ὁ λαός, ὃς ἂν εὑρεθῇ ἐγγεγραμμένος ἐν τῷ βι-

41 fin.] + ※και πολλαι σκανδαλισθησονται και αυται σωθησονται απο χειρος αυτου εδωμ και μωαβ και κεφαλαιον υιων αμμων (42) και αποστελει χειρα αυτου εν ταις γαιαις 88 Sy (ambo εν γαις γαιαις [sic])
12 1 ωραν Ra. (cf. 11 40)] χωραν 88 Sy

---

λαῖς καὶ εἰσελεύσεται εἰς τὴν γῆν καὶ συντρίψει καὶ παρελεύσεται. θ'
41 41καὶ εἰσελεύσεται εἰς τὴν γῆν τοῦ σαβι, καὶ πολλοὶ ἀσθενήσουσιν·
καὶ οὗτοι διασωθήσονται ἐκ χειρὸς αὐτοῦ, Εδωμ καὶ Μωαβ καὶ
42 ἀρχὴ υἱῶν Αμμων. 42καὶ ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ
43 γῆ Αἰγύπτου οὐκ ἔσται εἰς σωτηρίαν. 43καὶ κυριεύσει ἐν τοῖς ἀπο-
κρύφοις τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου καὶ ἐν πᾶσιν ἐπιθυμητοῖς
Αἰγύπτου καὶ Λιβύων καὶ Αἰθιόπων ἐν τοῖς ὀχυρώμασιν αὐτῶν.
44 44καὶ ἀκοαὶ καὶ σπουδαὶ ταράξουσιν αὐτὸν ἐξ ἀνατολῶν καὶ ἀπὸ
βορρᾶ, καὶ ἥξει ἐν θυμῷ πολλῷ τοῦ ἀφανίσαι καὶ τοῦ ἀναθεματί-
45 σαι πολλούς. 45καὶ πήξει τὴν σκηνὴν αὐτοῦ εφαδανω ἀνὰ μέσον
τῶν θαλασσῶν εἰς ὄρος σαβι ἅγιον· καὶ ἥξει ἕως μέρους αὐτοῦ,
12 καὶ οὐκ ἔστιν ὁ ῥυόμενος αὐτόν. 1καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἀνα-
στήσεται Μιχαηλ ὁ ἄρχων ὁ μέγας ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ
λαοῦ σου· καὶ ἔσται καιρὸς θλίψεως, θλῖψις οἵα οὐ γέγονεν ἀφ᾽
οὗ γεγένηται ἔθνος ἐπὶ τῆς γῆς ἕως τοῦ καιροῦ ἐκείνου· καὶ ἐν
τῷ καιρῷ ἐκείνῳ σωθήσεται ὁ λαός σου, πᾶς ὁ εὑρεθεὶς γεγραμ-

40 εισελευσεται] -σονται B† || 41 σαβ(ε)ι Complut. (cf. 16)] σαβαειν BA || 42 αυτου > B† || 43 χρυσιου et αργυριου AQ: cf. 38 | εν 2⁰ > A† || 44 -ισαι 1⁰ ⌒ 2⁰ B pau. || 45 εφαδανω] εν φανδανω A(†) | σαβ(ε)ι Complut.] σαβειν A, σαβαειν B: cf. 16 | μερους] + ορους A†
12 1 γεγονεν αφ ου pl.] > B*†, γεγ. αφ ης ABs pau. | επι της γης] εν τη γη B† | και ult. > B† | ευρεθεις] > B, + ο A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/938 UNIVERSITÄT LEIPZIG